# 05-05-2026 ΕΣΠΕΡΙΝΟΣ
# ΔΕΥΤΕΡΑΣ ΜΕΤΑ ΤΟΥ ΠΑΡΑΛΥΤΟΥ

† Ἐφραὶμ μεγαλομάρτυρος τοῦ νεοφανοῦς.

† Εἰρήνης μεγαλομάρτυρος.

ΙΕΡΕΥΣ: Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΑΝΑΓΝΩΣΤΗΣ: Ἀμήν.

Ἦχος πλ. α΄ Πα






Ψαλμὸς ργ´ (103).

Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, Κύριε ὁ Θεός μου ἐμεγαλύνθης σφόδρα.

Ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω, ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον.

Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέῤῥιν, ὁ στεγάζων ἐν ὕδασιν τὰ ὑπερῷα αὐτοῦ.

Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων.

Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.

Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα.

Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν.

Ἀναβαίνουσιν ὄρη, καὶ καταβαίνουσι πεδία εἰς τόπον, ὃν ἐθεμελίωσας αὐτά.

Ὅριον ἔθου, ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι καλύψαι τὴν γῆν.

Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀναμέσον τῶν ὀρέων διελεύσονται ὕδατα.

Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν.

Ἐπ᾽ αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν.

Ποτίζων ὄρη ἐκ τῶν ὑπερώων αὐτοῦ ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ.

Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων.

Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου.

Τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει.

Χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου, ἃς ἐφύτευσας.

Ἐκεῖ στρουθία ἐννοσσεύσουσι, τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν.

Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγῳοῖς.

Ἐποίησε σελήνην εἰς καιρούς ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ.

Ἔθου σκότος, καὶ ἐγένετο νύξ ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ.

Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπᾶσαι, καὶ ζητῆσαι παρὰ τῷ Θεῷ βρῶσιν αὐτοῖς.

Ἀνέτειλεν ὁ ἥλιος, καὶ συνήχθησαν, καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται.

Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ, καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας, ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου.

Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος, ἐκεῖ ἑρπετὰ ὧν οὐκ ἔστιν ἀριθμός, ζῷα μικρὰ μετὰ μεγάλων.

Ἐκεῖ πλοῖα διαπορεύονται, δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῇ.

Πάντα πρὸς σὲ προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον δόντος σου αὐτοῖς συλλέξουσιν.

Ἀνοίξαντός σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος ἀποστρέψαντος δέ σου τὸ πρόσωπον, ταραχθήσονται.

Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν.

Ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.

Ἤτω ἡ δόξα Κυρίου εἰς τοὺς αἰῶνας εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ.

Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν ὁ ἁπτόμενος τῶν ὀρέων, καὶ καπνίζονται.

ᾎσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ.

Ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς, καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Καὶ πάλιν·

Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ ἔθου σκότος, καὶ ἐγένετο νύξ.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε πάντα ἐν σοφίᾳ ἐποίησας.

Δόξα...Καὶ νῦν...

Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Δόξα σοι ὁ Θεός (ἐκ γ΄).

Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι.

ΔΙΑΚΟΝΟΣ: Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

ΧΟΡΟΣ: Κύριε, ἐλέησον. [καὶ μετὰ ἀπὸ κάθε αἴτηση]

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ πατρός καὶ Ἀρχιεπισκόπου ἡμῶν (......), τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ

διακονίας, παντός τοῦ Κλήρου καὶ τοῦ Λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ εὐσεβοῦς ἡμῶν Ἔθνους, πάσης Ἀρχῆς καὶ Ἐξουσίας ἐν αὐτῷ, τοῦ κατὰ ξηρὰν θάλασσαν καὶ ἀέρα φιλοχρίστου ἡμῶν στρατοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς πόλεως (Μονῆς, Κώμης) ταύτης, πάσης πόλεως καὶ χώρας καί τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ

ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

ΧΟΡΟΣ: **Σ**οὶ Κύριε.

ΙΕΡΕΥΣ: **Ὅ**τι πρέπει σοι, πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΧΟΡΟΣ: **Ἀ**μήν.

# ΚΥΡΙΕ ΕΛΕΗΣΟΝ.

Ἦχος πλ. α' Νη




# ΕΤΕΡΑ.




4. Κυ ρι ε ε ε λε η σο ο ον
5. Κυ ρι ε ε λε ε η σον
6. Κυ ρι ε ε λε ε ε η σον
7. Κυ ρι ε ε λε η σον
8. Κυ ρι ε ε λε η σον
9. Κυ ρι ε ε λε η σον
10. Κυ ρι ε ε λε ε η σον
11. Κυ ρι ε ε λε ε ε η σον
12. Σοι Κυ ρι ε

## Εἰς τὸ, Κύριε ἐκέκραξα, ψάλλομεν Στιχηρὰ η΄.

### Ψαλμὸς ρμ΄ (140).

Ἦχος Πα



υ υ ρι ι ι ι ε

Κα τευ θυν θη η η η η τω η προ σε ευ

χη η η η μου ως θυ μι ι ι α α

μα α α α α ε νω ω ω πι ι ι ο ο ο ον

σου ε παρ σις τω ω ων χει ει ρω ων μου

θυ σι ι α ε σπε ε ρι ι νη η η ει

σα α κου ου ου σο ον μου Κυ υ υ υ ρι

ι ι ι ε

Εἶτα ψάλλομεν τὰ 2 Στιχηρὰ Ἰδιόμελα
τῆς Ἑορτῆς εἰς 3. Ἦχος α΄

Ε αν α νο μι ας πα ρα τη ρη σης

Κυ ρι ε Κυ ρι ε τις υ πο στη σε ται ο

τι πα ρα σοι ο ι λα σμο ος ε ε ε ε

στιν

Ο τη πα λα μη τη α χραν τω πλα στουρ

γη σας τον α α αν θρω ω ω ω πον ηλ θες

ευ σπλαγ χνε τους νο σουν τας ι α σα σθαι αι

αι αι αι Χρι ι ι ι στε τον Πα ρα λυ τον

εν τη Προ βα τι κη κο λυ υμ βη η η θρα

δι α του λο γου σου ου α νε ε ε στη

η η η σας Αι μορ ρου δε το αλ γος ε θε ρα

α α πε ε ε ευ σας της Χα να ναι α

ας τηην παι αι δα ε νο χλου με νη ην ε λε


ε ε η η η η σας και την αι τη σιν του
Ε κα τον ταρ χου ου ου ου ου πα α
ρει ει ει δες δι α του το κρα α ζο ο μεν
Παν το δυ να με Κυ ρι ι ε δο ο ο
ξα α α α σοι
Ε νε κεν του ο νο μα τος σου υ
πε μει να σε Κυ ρι ε υ πε μει νεν η
ψυ χη μου εις τον λο γον σου ηλ πι σεν η
ψυ χη μου ε πι τον Κυ υ υ υ ρι ι ι ι
ον
Ο τη πα λα μη τη α χραν τω πλα στουρ

γη σας τον α α αν θρω ω ω ω πον ηλ θες

ευ σπλαγ χνε τους νο σουν τας ι α σα σθαι αι

αι αι αι Χρι ι ι ι στε τον Πα ρα λυ τον

εν τη Προ βα τι κη κο λυ υμ βη η η θρα

δι α του λο γου σου ου α νε ε ε στη

η η η σας Αι μορ ρου δε το αλ γος ε θε ρα

α α πε ε ε ευ σας της Χα να ναι α

ας τηην παι αι δα ε νο χλου με νη ην ε λε

ε ε η η η η σας και την αι τη σιν του

Ε κα τον ταρ χου ου ου ου ου πα α

ρει ει ει δες δι α του το κρα α ζο ο μεν

Παν το δυ να με Κυ ρι ι ε δο ο ο
ξα α α α σοι

Α πο φυ λα κης πρω ι ας με χρι νυ
κτος α πο φυ λα κης πρω ι ας ελ πι σα
τω Ισ ρα ηλ ε πι τον Κυ υ ρι ι ι ι ον

Α τα φος νε κρος υ παρ χων ο Πα ρα λυ
υ τος ι δων σε ε βο ο η η σεν Ε λε η
σον με Κυ ρι ι ε ο τι η κλι νη μου
τυμ βος μοι οι ε γε ε ε ε ε νε ε ε ε
το τι μοι κε ε ερ δος ζω ω ης ου χρη ζω
της Προ βα τι κη η η ης κο λυμ βη η η

η θρας ου γαρ ε στι μοι τις ο εμ βαλ λω ων με
τα ρατ το με νων τω ω ων υ υ δα
α α των αλ λα σοι τη πη γη προ σερ χο
μαι των ι ι α α μα α των ι να κα γω
με τα παν τω ων κρα α α ζω Παν το δυ να με Κυ
ρι ι ε δο ο ο ξα α α α σοι

## Στιχηρὰ Προσόμοια τοῦ Ἁγίου.

## Ἦχος α'. Πανεύφημοι μάρτυρες.

Στίχος. Ο τι πα ρα τω Κυ ρι ω
το ε λε ος και πολ λη παρ αυ τω λυ
τρω σις και αυ τος λυ τρω σε ται τον Ισ ρα
ηλ εκ πα σω ων των α νο μι ων αυ
του ου ου

Πάτερ Ἐφραὶμ ἀπὸ παιδός, τοῦ Χριστοῦ τοῖς ἴχνεσιν, ἀσκητικῶς ἠκολούθησας, βίον ἰσάγγελον, ἐν ὄρει Ἀμώμων, διανύον Ὅσιε, ἐν ᾧ βαρβαρικὴν ἰταμότητα, στερρῶς ὑπέμεινας, καὶ Μαρτύρων ἰσοστάσιος, ἀνεδείχθης, ἀθλήσας δι' αἵματος.

Στίχος. Αἰ νει τε τον Κυ ρι ον παν
τα τα ε θνη ε παι νε σα τε αυ το ον παν

τες οι λα οι

Πάτερ Ἐφραὶμ πολυειδῶς, αἰκισθεὶς τῷ σώματι, ἔστης ὡς πύργος ἀκλόνητος, ἐν ταῖς στρεβλώσεσι, καὶ χερσὶ Κυρίου, τὴν ψυχὴν παρέδωκας, τελέσας τὸν ἀγῶνα ὡς ἄσαρκος· διὸ τιμῶμέν σε, ὡς Χριστοῦ Ὁσιομάρτυρα δοξασθέντα, ἐν ἀπείροις θαύμασι.

Στίχος. Ο τι ε κρα ται ω θη το ε λε ος αυ του εφ η μας και η α λη θει α του Κυ ρι ου με νει εις τον αι ω να

Πάτερ Ἐφραὶμ ἐπιφανείς, ἐξ ἀδύτων ἔπλησας, ἡμᾶς χαρᾶς ὁ πρὶν ἄγνωστος, καὶ τῶν λειψάνων σου, τὴν ἁγίαν θήκην, ἡμᾶς ἁγιάζουσαν, ὡς θεῖον θησαυρὸν ἡμῖν δέδωκας, ἐξ ἧς προέρχεται, ἰαμάτων χάρις ἄφθονος, τοῖς τελοῦσι, τὴν πάνσεπτον μνήμην σου.

## Δόξα τοῦ Ἁγίου.
### Ἦχος πλ. β΄.

Νε ε Δο ο ο ο ξα Πα α τρι ι ι ι και αι
αι Υι ω και Α γι ι ω Πνευ μα α α
τι

Α αγ γε λι κην υ πελ θω ων πο ο ο
λι τει ει ει αν α πο νε ο ο τη η το ο
ος σο φε εν ο ρει των Α μω μω
ων ε σκη η η νω ω ω ω σας α σκη
τι κως α γω ω ω νι ζο ο ο με ε ε ε νος
την γαρ κλη σιν εις ε ερ γο ον α γων
α μω μος και α α με ε εμ πτος εν τοις

δι και ω μα σι ι Κυ υ υ ρι ι ι ου ω

ω ω φθης α να κα θα ρα ας σε α αυ τον

πα σης υ λι κη η η ης προ ο ο σπα

θει ει ει ει ας και χερ σι μι αι φο ο ο νοις

α α πο ο ο κταν θεις ως θυ μα ευ

προ οσ δε ε ε κτον και ο λο κα αρ πω ω

ω μα θει ει ει ει ον προ ση νε ε ε ε ε

χθη η ης Χρι στω α θλη τι κως τε λε ε ε

σας την ζω ω ω ην αλλ ως ο σι ος ε εν

α σκη ταις και Μαρ τυ υ υς ε ε εν ο

σι ι ι ι οις δι πλων στε φα α νω ων ε

ε τυ υ χες πα ρα Κυ ρι ι ι ου και θαυ μα

των χα α ρι ι ιν ε ε ε κο μι ι ι σω

ο σι ο μα α αρ τυς Ε ε εφραιμ

δι ο τοις τε λου ου σι την μνη η μη η ην

σου ου ου ου ου ου ου ου ου ου ου ου ου

ου ου αι αι αι τη η η η σαι ι λα σμο

ον πται αι σμα των και το με ε ε γα ε ε

ε λε ε ε ε ος

## Καὶ νῦν... τοῦ Παραλύτου.

Ἦχος πλ. α' Πα




α α σθε νου ου ου ουν των Αγ γε λος γα α
α αρ του Θε ου κα τα και ρο ον ε πι
ι φοι των δι ε τα α ρα α ατ τε
εν α α αυ την και ρω σιν ε χα ρι
ι ζε ε ε το τοις προ σι ου ου ου
ου σι ιν ε ε εν πι ι ι ι στει και ι
δω ων ο ο Κυ ρι ι ος χρο νι ουν τα ανθρω
ω ω πον λε ε γει προς α α αυ τον θε ε
ε ε ε ε λεις υ γι η η η ης γε νε
ε σθαιαι ο α σθε νω ων α α πε
κρι ι ι ι ι να α α α το Κυ υ υ υ υ υ


υ ρι ι ε ανθρωπον ουκ ε ε ε ε χω
ι να ο ταν τα ρα χθη η το ο υ υ δωρ
βα α λη η με ε ε ε ει ει εις την κο ο
ο λυμ βη η η η θραν ι α τροις κα α τη
να α λω σα τον α παν τα μου βι ι ο ον και
ε λε ε ε ους τυ υ χει ει ειν ουκ η η ξι ι
ι ω ω ω ω θην αλλ ο ο ι α τρος των
ψυ ω χων και τω ω ω ων σω ω ω μα α α τω
ων λε ε γει ει ει προ ο ος α αυ τον α α
ρο ον σου τον κρα αβ βα α το ο ον και
και πε ρι πα α α α α α α α α τει


κη ρυ υτ των μου την δυ υ υ υ να
α α α μιν και το με ε γα α α ε ε
λε ε ε ος ε εν τοις πε ε ρα σι ι ι
ι ι ι ι ιν

# ΦΩΣ ΙΛΑΡΟΝ.

Ἦχος … Δι






## ΤΑ ΠΡΟΚΕΙΜΕΝΑ ΚΑΤΑ ΤΟΝ ΚΑΘΟΡΙΣΜΕΝΟΝ ΗΧΟΝ

## Προκείμενον.
## Τῇ Κυριακῇ ἑσπέρας.

Ἦχος πλ. δ' Νη




Στίχ. **Ο**ἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν.

Τὸ τρίτον.



Προκείμενον.
Τῇ Δευτέρᾳ ἑσπέρας.
Ἦχος δ΄.

Ἦχος Δι

Κυ υ ρι ος ει σα κου σε ται μου
εν τω κε κρα γε ε ναι με προς αυ το
ον (Δίς)

Στίχ. Ἐν τῷ ἐπικαλεῖσθαί με εἰσήκουσάς μου, ὁ Θεός τῆς δικαιοσύνης μου, ἐν θλίψει ἐπλάτυνάς με.

Τὸ τρίτον. Κυ ρι ος ει σα κου σε ται αι μου
εν τω κε κρα γε ναι με προς αυ το ο
ον

## Προκείμενον.
## Τῇ Τρίτῃ ἑσπέρας.
### Ἦχος Πα

Το ε λε ος σου Κυ ρι ε κα τα δι ω ξει με πα σας τας η με ρας της ζω ης μου (Δὶς)

Στίχ: **Κ**ύριος ποιμαίνει με καὶ οὐδέν με ὑστερήσει· εἰς τόπον χλόης ἐκεῖ με κατεσκήνωσεν.

Τὸ τρίτον: Το ε λε ος σου Κυ ρι ε κα τα δι ω ξει με πα σας τας η με ρας της ζω η ης μου ου ου

Προκείμενον.

Τῇ Τετάρτῃ ἑσπέρας.

Ἦχος πλ. δ΄ Κε




**Στίχ.** Ὁ Θεός εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὰ ῥήματα τοῦ στόματός μου.

Τὸ τρίτον.



## Προκείμενον.
## Τῇ Πέμπτῃ ἑσπέρας.

Ἦχος λ̣π Βου

Η βο η θει α α μου πα ρα Κυ ρι
ου του ποι η σαν τος τον ου ρα νο ον και
(Δίς)
την γην

Στίχ. Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου.

Τὸ τρίτον. Η βο η θει α α μου πα ρα
Κυ ρι ου του ποι η σαν τος τον ου ρα
νο ον και την γη η ην

## Προκείμενον.
## Τῇ Παρασκευῇ ἑσπέρας.

### Ἦχος Βαρὺς




Στίχ. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, ὁ Θεός, καὶ ἐκ τῶν ἐπανισταμένων ἐπ᾽ ἐμὲ λύτρωσαί με.

Τὸ τρίτον.






## Εἶτα τὰ Ἀναγνώσματα.

## Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

(Κεφ. μγ´ 9)

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς, ὃν ἐξελεξάμην· ἵνα γνῶτε, καὶ πιστεύσητε, καὶ συνῆτε, ὅτι ἐγώ εἰμί. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ᾽ ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεὸς· ὅτι ἀπ᾽ ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ ἅγιος Ἰσραήλ.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
## (Κεφ. 3, 1-9)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾿ ἡμῶν πορεία σύντριμμα, οἱ δὲ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν, αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τούς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾿ αὐτὸν συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
## (Κεφ. 5, 15-23 & 6, 1-3)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν, τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν, συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει

θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε, μάθετε δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.

Κύριε, ἐλέησον (ἅπαξ).

Κύριε παντοκράτορ ὁ Θεός τῶν πατέρων ἡμῶν, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

Κύριε, ἐλέησον (ἅπαξ).

Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

Κύριε, ἐλέησον (ἐκ τρίτου).

Ἔτι δεόμεθα ὑπέρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος).

Κύριε, ἐλέησον (ἐκ τρίτου).

Ἔτι δεόμεθα ὑπέρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων καὶ μοναχῶν, καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Κύριε, ἐλέησον (ἐκ τρίτου).

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων του Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ (κώμῃ, πόλει) ταύτῃ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καὶ

ἀφιερωτῶν τοῦ ἁγίου ναοῦ τούτου.

Κύριε, ἐλέησον (ἐκ τρίτου).

Ἔτι δεόμεθα ὑπέρ τῶν μακαρίων καὶ ἀοιδίμων κτιτόρων τῆς ἁγίας Ἐκκλησίας ταύτης, καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς, κειμένων, καὶ ἁπανταχοῦ ὀρθοδόξων.

Κύριε, ἐλέησον (ἐκ τρίτου).

Ἔτι δεόμεθα ὑπέρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου τὸ παρὰ Σοῦ μέγα καὶ πλούσιον ἔλεος.

Κύριε, ἐλέησον (ἅπαξ).

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας των αἰώνων.

Ὁ Ἀναγνώστης: Ἀμήν.

Καταξίωσον, Κύριε, ἐν τῇ ἑσπέρα ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς. Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς

αἰῶνας. Ἀμήν. Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ. Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Δέσποτα, συνέτισον μὲ τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου. Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς. Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Κύριε, ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι.

Κύριε, ἐλέησον.

Τὴν ἑσπέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρά τοῦ Κυρίου, αἰτησώμεθα.

Παράσχου Κύριε.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα των ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Χριστιανὰ τὰ τέλη της ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπί τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Παράσχου Κύριε.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Σοὶ, Κύριε.

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας των αἰώνων.

Ὁ Χορός: Ἀμήν.

Εἰρήνη πᾶσι.

Καὶ τῷ πνεύματί σου.

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Σοί, Κύριε.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ κλίνας οὐρανοὺς καὶ καταβὰς ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων, ἔπιδε ἐπί τοὺς δούλους σου καὶ ἐπὶ τὴν κληρονομίαν σου. Σοὶ γὰρ τῷ φοβερῷ καὶ φιλανθρώπῳ κριτῇ, οἱ σοὶ δοῦλοι ὑπέκλιναν τὰς κεφαλάς, τοὺς δὲ αὐτῶν ὑπέταξαν αὐχένας; οὐ τὴν ἐξ ἀνθρώπων ἀναμένοντες βοήθειαν, ἀλλὰ τὸ σὸν περιμένοντες ἔλεος, καὶ τὴν σὴν ἀπεκδεχόμενοι σωτηρίαν, οὓς διαφύλαξον ἐν παντὶ καιρῷ, καὶ κατὰ τὴν παροῦσαν ἑσπέραν καὶ τὴν προσιοῦσαν νύκτα, ἀπὸ παντὸς ἐχθροῦ, ἀπὸ πάσης ἀντικειμένης ἐνεργίας διαβολικῆς, καὶ διαλογισμῶν ματαίων καὶ ἐνθυμήσεων

πονηρῶν.

Εἴη τὸ κράτος τῆς βασιλείας σου εὐλογημένον καὶ δεδοξασμένον, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός: Ἀμήν.

# ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

Ἰδιόμελα. Ἦχος α΄.

Δαβιτικὴν ῥῆσιν πληρουμένην, ἐν σοὶ καθορῶντες, ὁσιομάρτυς Ἐφραίμ, φαιδρῶς τιμῶμέν σε· ἐν ὄρει γὰρ Ἀμώμων, τὴν ἀρετὴν ἐργασάμενος, ὡς ἐν ὄρει Κυρίου, ἀθῶος ὤφθης ταῖς χερσί, καὶ καθαρὸς τῇ καρδίᾳ, δικαιοσύνην ἐνδυσαμενος· καὶ ἀπαθείας τὰ ἄνθη, μαρτυρικῷ ἀρδεύσας αἵματι, ἀθλητικὴν καρποφορίαν ἐξήνθήσας, καὶ τῶν θαυμάτων τὸν γλυκασμόν, τῇ Ἐκκλησίᾳ βλυστάνεις· δι᾽ ὧν παθῶν πικρία ξηραίνεται, καὶ πρὸς σωτηρίαν εὐοδοῦνται οἱ βοῶντες· Κύριε δόξα σοι.

Ἦχος β΄.

Τῶν ἀρετῶν τὴν τρίβον, συντόνως πορευόμενος, τὸ τῆς σαρκὸς ἐνὲκρωσας φρόνημα, ἐγκρατείας πόνοις, Ἐφραὶμ παμμακάριστε· τὴν δὲ ψυχὴν κατοικητήριον, καὶ καθαρώτατον σκήνωμα, τῆς παναγίας Τριάδος εἰργάσω, ὡς φωτὸς θείου πλήρης· καὶ τοῦ σκότους τὸν ἄρχοντα, δι᾽ ἀνημέρων βαρβάρων, λυσσωδῶς προσβαλόντα σοι, κραταιῶς ἀπεκρούσω, ἐν τῷ ἐνδυναμοῦντί σε Χριστῷ· καὶ ὡς χρυσὸς ἐν καμίνῳ, πολυειδέσι βασάνοις

δοκιμασθείς, τῷ ξύλῳ τῆς ζωῆς ἀποκατέστης, μαρτυρικῆς εὐκλείας ἀξιούμενος, καὶ πᾶσιν αἰτούμενος, εἰρήνην καὶ θεῖον ἔλεος.

Ἦχος γ΄.

Ὁσιότητι ἐμπρέπων, καὶ τῷ Θεῷ ἀμέμπτως ἱερουργῶν, ὡς ἱερεὺς τῆς χάριτος εὐπρόσδεκτος Ὅσιε, ὡς θυσίαν καθαράν, καὶ προσφορὰν τελείαν, τὴν ἐν ἀσκήσει ζωήν, καὶ τὴν ἐν ἀθλήσει στερρότητα, Χριστῷ προσενήνοχας· βαρβαρικαῖς γὰρ χερσὶ συσχεθείς, οὐκ ἐφείσω τῆς προσκαίρου ζωῆς, πρὸς τὴν αἰώνιον ζωὴν κατεπειγόμενος καὶ μαρτυρικῇ κοσμηθεὶς λαμπρότητι, πρὸς τὸν νυμφῶνα τῆς ἄνω δόξης ἀνέδραμες, ὁσιομάρτυς Ἐφραὶμ μακάριε· ὅθεν τοῖς τελοῦσι τὴν μνήμην σου, αἴτει ἱλασμὸν παρὰ Θεοῦ καὶ μέγα ἔλεος.

Ἦχος δ΄.

Τοῖς πάλαι Ὁσίοις ἁμιλληθεὶς καὶ Μάρτυσι, καὶ τῶν ἀγώνων κοινωνήσας αὐτοῖς, τῆς κατ᾽ αὐτοὺς χάριτος μετέσχες, ἐν τῇ ἀφθόνῳ δωρεᾷ, τοῦ Παρακλήτου δοξασθείς, Ἐφραὶμ παμμακάριστε, Θεοῦ θεράπων γνήσιε· ὅθεν ἐνεργῶν ἐν τοῖς θαύμασι, πανταχοῦ προφθάνεις καλούμενος καὶ κατ᾽ ὄναρ καὶ ὕπαρ παραδόξως

φαινόμενος, σωστικὴν βοήθειαν παρέχεις, τοῖς ἐν ἀνάγκαις τελοῦσιν. Ἀλλὰ πρέσβευε Ἅγιε, ταύτην τὴν Μονήν σου ἀπήμαντον τηρείσθαι, καὶ τοῖς σὲ τιμῶσι διδόναι, πταισμάτων συγχώρησιν.

Δόξα. Ἦχος β΄.

Τὴν ἐν ἀσκήσει ζωήν σου, ὁ τῆς δόξης προσηκάμενος Κύριος, ἀθλητικῆς εὐκλείας σε ἠξίωσεν, Ἐφραὶμ πάτερ Ὅσιε· ἀγγελικῶς γὰρ βιοτεύων, καὶ πρὸς τὸ πρῶτον ἀναγόμενος ἀξίωμα, τῇ τῶν κρειττόνων ἐργασίᾳ, ἐπιδρομέων ἰταμωτάτων, οὐκ ἔπτηξας τὴν ῥύμην· ἀλλ᾽ ὡς ἀρνίον ἄκακον, δίκην λύκων ὑπ᾽ αὐτῶν σπαραχθείς, τῇ κεφαλῇ τῶν ὅλων Χριστῷ, τελεώτερον προσηρμόσθης· καὶ τοῦ πόθου εὑρὼν τὴν πλήρωσιν, μὴ παύσῃ ἱλεούμενος ἡμῖν, τὸν σὲ δοξὰσαντα Κύριον.

## Πλαγίου Τετάρτου.

Ἦχος Νη




Πα ρασχου Κυ ρι ε
Υ περ α γι α Θε ο το κε σω σον η
μας
Σοι οι οι οι οι οι οι οι οι οι Κυ υ
υ υ ρι ε
Α μην
Ἦχος Ἐναρμόνιος
Κυ ρι ε ε ε λε ε η σον
Κυ ρι ε ε λε η σον
Κυ υ ρι ε ε λε η η σον
Κυ ρι ε ε ε λε ε η η σον


Κυ ρι ε ε λε ε ε η σον
Πα ρα σχου Κυ ρι ε
Πα ρα σχου Κυ ρι ε
Πα ρα σχου Κυ ρι ε
Πα ρα σχου Κυ υ ρι ε
Πα ρα σχου Κυ υ ρι ε
Πα ρα σχου Κυ ρι ε

## Εἰς τὴν Ἀρτοκλασίαν.

### Ἐπιλογές παρά διαφόρων Διδασκάλων

Κυ ρι ε ε λε η σον Κυ ρι ε
ε λε η σον Κυ ρι ε ε λε η σον
Κυ ρι ε ε λε η σον Κυ ρι
ε ε λε η σον Κυ ρι ε ε λε η σον
Κυ ρι ε ε λε η σον Κυ ρι
ε ε λε η σον Κυ ρι ε ε λε η
σον

## ΚΥΡΙΕ ΕΛΕΗΣΟΝ ΑΓΙΟΡΕΙΤΙΚΟ ΗΧΟΣ ΠΛ.Α'

Κυ ρι ε ε λε η σον Κυ ρι ε
ε ε λε η σο ο ο ο ο ο ο ον Κυ υ ρι
ε ε λε ε η σον

## Θεοτόκε Παρθένε.

Ἦχος




ω ων
Πλου σι οι ε πτω χευ σαν και ε πει
να σαν οι δε εκ ζη τουν τες τον Κυ ρι ον
ουκ ε λατ τω ω θη σον ται παν το ος
α γα θου
Τὸ τέλος τοῦ τρίτου.
παν το ος α γα
θου ου ου ου ου ου ου

Εἰς τὸν Στίχον στιχηρὰ τοῦ Ἁγίου.
Ἦχος πλ. α΄.
Χαίροις ἀσκητικῶν.

Χαίροις ὁσιομάρτυς Ἐφραὶμ, ὁ ἐκ νεότητος σαυτὸν ἀναθέμενος, καρδίᾳ τελειωτάτῃ, τῷ παντεπόπτῃ Θεῷ, κοσμικὴν ἀπάτην βδελυξάμενος· ἐντεῦθεν ἰσάγγελον, πολιτείαν ἐζήλωσας, δι᾽ ἐγκρατείας, καὶ συντόνου δεήσεως, ἐνδιαίτημα, ἀπαθείας γενόμενος· ὅθεν Μαρτύρων σκάμματα, ὑπῆλθες ὡς ἄσαρκος, ὑπὸ βαρβάρων ἀνόμων, σφαγιασθεὶς ἀπηνέστατα. Καὶ νῦν ἐκδυσώπει, τοῖς τιμῶσί σε δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Χαίροις ὁσιομάρτυς Ἐφραὶμ, ὁ τῶν ὁσίων κοινωνὸς καὶ ὁμότροπος, Μαρτύρων ἐν πᾶσιν ἴσος, ὡς τὴν ἀνδρείαν αὐτῶν, καρτεροῖς ἀγῶσιν ἐνδειξάμενος· ἀστὴρ ὁ πολύφωτος, ἀρετῶν τῆς ἀσκήσεως, ὁ ἐκ τοῦ ὄρους, τῶν Ἀμώμων τοῖς πέρασι, τῶν ἰάσεων, καὶ θαυμάτων τὰς χάριτας, πᾶσιν ἐκλάμπων Ἅγιε, καὶ λύων σκοτόμαιναν, παθῶν καὶ πάσης ἀνάγκης, τῇ ταχύτατῃ πρεσβείᾳ σου. Καὶ νῦν ἐκδυσώπει, τοῖς τιμῶσί

σε δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Χαίροις ὁσιομάρτυς Ἐφραὶμ, ὁ φερωνύμως ἐπευφράνας ἐν Πνεύματι, εὑρέσει τῇ παρ' ἐλπίδα, τῶν σῶν λειψάνων σοφέ, ἐξ ὧν ἀναβλύζει χάρις ἄφθονος· ἐντεῦθεν προστρέχουσι, πανταχόθεν τῇ μάνδρᾳ σου, οἱ ἐν ἀνάγκαις, καὶ ἐν νόσοις καὶ πάθεσι, καὶ τὴν ἴασιν, παραδόξως κομίζονται. Ὅθεν εὐσήμῳ στόματι, κηρύττουσιν ἔνδοξε, τὴν σὴν θερμὴν προστασίαν, οἱ τῶν καλῶν σου τρυφήσαντες, Χριστὸν ἀνυμνοῦντες, τὸν θαυμάτων ἐνεργείαις, σὲ μεγαλύναντα.

## Δόξα τοῦ Ἁγίου. Ἦχος πλ. δ'.

Ἦχος πλ. δ' Νη

Δο ξα Πα α α τρι ι και Υι υι ω ω

και Α γι ι ω ω Πνε ε ε ε ε ευ μα α α

α α Πνε ευ μα τι

Τω φω τι τη ης χα α ρι ι τος κα

ταυ γα ζο με ε ε νο ος Πα α α τερ των αρ

χον των του σκο ο του ου ους τας ορ μας αν

δρει ο τα τη ψυ χη η υ υ πε ε ε μει

ει ει ει νας ωσ πε ερ α αλ λου πα α α

σχο ο ο ον τος και αι τω Χρι στω ο λι κως

α α α τε ε νι ι ι ζων σπα ρατ το με ε

νω ων των με λων φο νω ω ω ω ω σαι αι

αις χερ σιν ου δο λως ε ε φρον τι ι σας αλλ

ε βο ο ο ας Κυ υ ρι ι ι ι ι ω δε

ξαι αι Σω ω ω τερ το ο πνε ε ευ μα α α α

μου ο δι ε με ε κου σι ι ως πα θων

και πη γα σας μοι ζω ην αι ω ω ω νι

ι ι ι ον και νυν Ε φραιμ μα α α

κα α α α α α α α ρι ι ι ε ε α δι

α λει ει πτω ως πρε ε ε σβε ε ε ευ ε

σω ζε ε ε σθαι τους σε ε ε μα α α κα

ρι ι ι ζο ο ο ον τας

## Καὶ νῦν... τῆς ἑορτῆς.

### Ἦχος πλ. δ΄ Νη




θε ε λεις υ γι η ης γε ε νε ε ε σθαι
αι ο α σθε νω ω ων α πε κρι ι ι ι να
α α α το Κυ ρι ι ε α αν θρω πο ον ου
ουκ ε ε ε ε χω ι να ο ταν τα ρα χθη η
το ο υ υ υ δωρ βα λη η με ε ε ει εις την
κο λυ υ υμ βη η η η θραν Ο δε λε
γει προς α αυ τον Α ρον σου την κλι ι ι
νη ην ι δε υ γι ι η η η ης γε
ε γο ο ο νας μη κε ε ε τι α μα α
α αρ τα α α α νε της Θε ο το κου πρε
σβει ει αις Κυ υ υ ρι ι ι ι ε κα τα


α πε εμ ψο ον η η η μι ιν το με γα
ε ε λε ε ο ο ο ος

ΙΕΡΕΥΣ: Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν, φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

Ὁ Ἀναγνώστης: Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (ἐκ γ΄).

Δόξα Πατρὶ... Καὶ νῦν...

Παναγία Τριάς, ἐλέησον ἡμᾶς.

Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν,

Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν.

Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον, Κύριε, ἐλέησον, Κύριε, ἐλέησον.

Δόξα Πατρὶ... Καὶ νῦν...

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

ὁ ἱερεύς:

Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΧΟΡΟΣ: Ἀμήν.

## Ἀπολυτίκια.

### Τὸ Ἀναστάσιμον Ἀπολυτίκιον. Ἦχος γʹ



## Ἀπολυτίκιον τοῦ Ἁγίου

### Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Δόξα... Εν ο ρει των Α μω μων ω
σπερ λυ χνος α νε λαμ ψας και μαρ τυ ρι
κως θε ο φο ρε προς Θε ο ον ε ξε δη μη
σας βαρ βα ρων υ πο στας ε πι δρο μας Ε
φραιμ ο σι ο μαρ τυς του Χρι στου δι α
του το α να βλυ ζεις χα ριν α ει τοις ευ λα
βως βο ω σι σοι δο ξα τω δε δω κο τι σοι ι
σχυν δο ξα τω σε θαυ μα στω σαν τι
δο ξα τω ε νερ γουν τι δι α σου πα
σιν ι α α μα α τα

Και νυν και α ει και εις τους αι ω

νας των αι ω νων α μην

Θεοτοκίον.

Του Γα βρι ηλ φθεγ ξα μενου σοι Παρ

θε νε το χαι αι ρε συν τη φω νη ε σαρ κου

το ο των ο ο λων Δε σπο της εν σοι τη α

γι α Κι βω τω ως ε φη ο δι καιος Δα βιδ

ε δειχθης πλα τυ τε ε ρα των ου ρα νων βα

στα σα σα τον Κτι στην σου δο ξα τω ε νοι

κη σαν τι εν σοι δο ξα τω προ ελ θο ον

τι εκ σου δο ξα τω ε λευ θε ρω σαν τι η μας

δι α του το κου σου ου ου

ΙΕΡΕΥΣ: Σοφία!

ΧΟΡΟΣ: Εὐλόγησον.

ΙΕΡΕΥΣ: Ὁ ὢν εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τους αἰῶνας τῶν αἰώνων.

Ὁ Ἀναγνώστης: Ἀμήν. Στερεώσαι, Κύριος ὁ Θεός, τὴν ἁγίαν ἀμώμητον πίστιν τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν, σὺν τῇ ἁγίᾳ αὐτοῦ Ἐκκλησίᾳ καὶ τῇ πόλει (ἢ τῇ μονῇ, ἢ χώρᾳ, ἢ τῇ νήσῳ) ταύτῃ εἰς αἰῶνας αἰώνων. Ἀμήν.

ΙΕΡΕΥΣ: Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ὁ Ἀναγνώστης: Τὴν Τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

ΙΕΡΕΥΣ: Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Ὁ Ἀναγνώστης: Δόξα... Καὶ νῦν..., Κύριε ἐλέησον (γ΄), Πάτερ ἅγιε, εὐλόγησον.

ΙΕΡΕΥΣ: Ὁ ἀναστὰς ἐκ νεκρῶν Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας Αὐτοῦ μητρός, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων

Δυνάμεων ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων, τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, καὶ πάντων τῶν Ἁγίων, ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος καὶ ἐλεήμων Θεός.

ΙΕΡΕΥΣ: Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

Ὁ Χορός: Ἀληθῶς ἀνέστη ὁ Κύριος.

Τὸν Εὐλογοῦντα.



Ἡ Μεταφορὰ Κειμένων - Καλλιτεχνικὴ ἐπιμέλεια
ἔγινε μὲ τὸ πρόγραμμα «Μελωδός»
τοῦ κ. Σάββα Παπαδόπουλου
www.melodos.com
ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη
Ἱεροψάλτη στὸν Ι.Ν. Ἁγίου Γεωργίου Κουλούρας Βέροιας.